ἀλλά, νέοι, στέργοιτε νέον Πόθον· ἦ γὰρ ὁ κοῦρος
εὕρηται κρείσσων οὗτος Ἔρωτος Ἔρως.

## LXXXIII

εἰ χλαμύδ᾽ εἶχεν Ἔρως καὶ μὴ πτερὰ μηδ᾽ ἐπὶ νώτων
τόξα τε καὶ φαρέτραν, ἀλλ᾽ ἐφόρει πέτασον,
ναὶ ⟨μὰ⟩ τὸν ἁβρὸν ἔφηβον ἐπόμνυμαι, Ἀντίοχος μὲν
ἦν ἂν Ἔρως, ὁ δ᾽ Ἔρως τἄμπαλιν Ἀντίοχος.

## LXXXIV

διψῶν ὡς ἐφίλησα θέρευς ἁπαλόχροα παῖδα,
εἶπα τότ᾽ αὐχμηρὰν δίψαν ἀποπροφυγών
"Ζεῦ πάτερ, ἆρα φίλημα τὸ νεκτάρεον Γανυμήδευς
πίνεις, καὶ τόδε σοι χείλεσιν οἰνοχοεῖ;
καὶ γὰρ ἐγὼ τὸν καλὸν ἐν ἠιθέοισι φιλήσας
Ἀντίοχον ψυχῆς ἡδὺ πέπωκα μέλι."

## LXXXV

ὦ Χάριτες, τὸν καλὸν Ἀρισταγόρην ἐσιδοῦσαι
ἀντίον εἰς τρυφερὰς ἠγκαλίσασθε χέρας·
οὕνεκα καὶ μορφᾷ βάλλει φλόγα καὶ γλυκυμυθεῖ
καίρια καὶ σιγῶν ὄμμασι τερπνὰ λαλεῖ.
τηλόθι μοι πλάζοιτο· τί δὲ πλέον; ὡς παρ᾽ Ὀλύμπου
Ζεὺς νέος οἶδεν ὁ παῖς μακρὰ κεραυνοβολεῖν.